# ΠΑΡΑΚΛΗΣΗ

## ΣΤΟΝ ΑΓΙΟ

# Πορφύριο τόν Καυσοκαλυβίτη

Ποίημα

Εὐαγγέλου Γ. Παχυγιαννάκη
Πρωτοπρεσβυτέρου
τοῦ Οἰκουμενικοῦ Θρόνου

ΙΕΡΑ ΜΟΝΗ ΧΡΥΣΟΠΗΓΗΣ
ΧΑΝΙΑ 2014



© Ἱερά Πατριαρχική καί Σταυροπηγιακή
Μονή Ζωοδόχου Πηγῆς - Χρυσοπηγῆς
73100 Χανιά, Κρήτη
τηλ.: 28210 91125, 28210 29840
fax: 28210 97600
e-mail: imx@otenet.gr

Γενική ἐπιμέλεια - σελιδοποίηση:
Ἱερά Μονή Χρυσοπηγῆς

Α΄ Ἔκδοση: Δεκέμβριος 2014


Ὁ ἍΓΙΟΣ ΠΟΡΦΥΡΙΟΣ
Ὁ ΚΑΥΣΟΚΑΛΥΒΙΤΗΣ
Ὁ ΧΣ ΕΙΝΑΙ Η ΠΗΓΗ
ΤΗΣ ΖΩΗΣ, ΤΗΣ ΧΑΡΑΣ,
ΤΟΥ ΦΩΤΟΣ ΤΟΥ ΑΛΗΘΙΝΟΥ.
Ὁ ΧΣ ΕΙΝΑΙ ΤΟ ΠΑΝ.
Ι. ΜΟΝΗ ΧΡΥΣΟΠΗΓΗΣ - ΧΑΝΙΑ

## Ἀπολυτίκιον ἁγίου Πορφυρίου

*Ἦχος γ΄. Θείας πίστεως.*

Σκεῦος χάριτος τοῦ Παρακλήτου* σὲ ἀνέδειξεν* ἡ τῆς Τριάδος* χαριτόβρυτος, Πάτερ, ἐπίνευσις·* σὺ γὰρ αὐξήσας συντόνως τὸ χάρισμα* ὡς φωτοφόρος ἐν κόσμῳ διέλαμψας·* ὅθεν πρέσβευε Χριστῷ τῷ Θεῷ, Πορφύριε,* δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

## Κοντάκιον

*Ἦχος πλ. δ΄. Τῇ Ὑπερμάχῳ.*

Τὸν ἐν ἐσχάτοις τοῖς καιροῖς ἐνθέως ζήσαντα* καὶ ἐμπλησθέντα χαρισμάτων θείου Πνεύματος,* ἀνυμνήσωμεν Πορφύριον ἐπαξίως,* ὅτι μέγας παρακλήτωρ ἀναδέδεικται* καὶ ζωὴν ἡμῖν παρέχει ἀκεσώδυνον·* πρὸς ὃν κράζομεν· χαίροις, Πάτερ παγκόσμιε.

## Μεγαλυνάριον

Χαίροις, τῶν θαυμάτων ὁ ποταμὸς* καὶ τῶν μοναζόντων* ὁ διδάσκαλος ὁ σεπτός,* μετανοίας κῆρυξ,* χαρᾶς τε ἀϊδίου,* ὢ οὐρανοπολῖτα* θεῖε Πορφύριε.

# ΠΑΡΑΚΛΗΤΙΚΟΣ ΚΑΝΩΝ

*Εἰς τὸν ὅσιον καὶ θεοφόρον Πατέρα ἡμῶν Πορφύριον τὸν Καυσοκαλυβίτην*

Εὐλογήσαντος τοῦ ἱερέως, ἀρχόμεθα τοῦ ΡΜΒ΄ (142) ψαλμοῦ.

Κύριε, εἰσάκουσον τῆς προσευχῆς μου, ἐνώτισαι τὴν δέησίν μου ἐν τῇ ἀληθείᾳ σου, εἰσάκουσόν μου ἐν τῇ δικαιοσύνῃ σου.* Καὶ μὴ εἰσέλθῃς εἰς κρίσιν μετὰ τοῦ δούλου σου, ὅτι οὐ δικαιωθήσεται ἐνώπιόν σου πᾶς ζῶν.* Ὅτι κατεδίωξεν ὁ ἐχθρὸς τὴν ψυχήν μου· ἐταπείνωσεν εἰς γῆν τὴν ζωήν μου.* Ἐκάθισέ με ἐν σκοτεινοῖς ὡς νεκροὺς αἰῶνος καὶ ἠκηδίασεν ἐπ᾽ ἐμὲ τὸ πνεῦμά μου, ἐν ἐμοὶ ἐταράχθη ἡ καρδία μου.* Ἐμνήσθην ἡμερῶν ἀρχαίων, ἐμελέτησα ἐν πᾶσι τοῖς ἔργοις σου,

ἐν ποιήμασι τῶν χειρῶν σου ἐμελέτων.* Διεπέτασα πρὸς σὲ τὰς χεῖράς μου· ἡ ψυχή μου ὡς γῆ ἄνυδρός σοι.* Ταχὺ εἰσάκουσόν μου, Κύριε, ἐξέλιπε τὸ πνεῦμά μου.* Μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ᾽ ἐμοῦ καὶ ὁμοιωθήσομαι τοῖς καταβαίνουσιν εἰς λάκκον.* Ἀκουστὸν ποίησόν μοι τὸ πρωῒ τὸ ἔλεός σου, ὅτι ἐπὶ σοὶ ἤλπισα.* Γνώρισόν μοι, Κύριε, ὁδόν, ἐν ᾗ πορεύσομαι, ὅτι πρὸς σὲ ἦρα τὴν ψυχήν μου.* Ἐξελοῦ με ἐκ τῶν ἐχθρῶν μου, Κύριε, πρὸς σὲ κατέφυγον· δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά σου, ὅτι σὺ εἶ ὁ Θεός μου.* Τὸ πνεῦμά σου τὸ ἀγαθὸν ὁδηγήσει με ἐν γῇ εὐθείᾳ· ἕνεκεν τοῦ ὀνόματός σου, Κύριε, ζήσεις με.* Ἐν τῇ δικαιοσύνῃ σου ἐξάξεις ἐκ θλίψεως τὴν ψυχήν μου καὶ ἐν τῷ ἐλέει σου ἐξολοθρεύσεις τοὺς ἐχθρούς μου.* Καὶ ἀπολεῖς πάντας τοὺς θλίβοντας τὴν ψυχήν μου, ὅτι ἐγὼ δοῦλός σού εἰμι.

Καὶ εὐθὺς τὸ Θεὸς Κύριος ὑπὸ τῶν χορῶν ἐξ ὑπαμοιβῆς μετὰ τῶν οἰκείων στίχων, ὡς ἀκολούθως:

Ἦχος δ΄

Θεὸς Κύριος καὶ ἐπέφανεν ἡμῖν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.

Στίχ. *Ἐξομολογεῖσθε τῷ Κυρίῳ καὶ ἐπικαλεῖσθε τὸ ὄνομα τὸ ἅγιον αὐτοῦ.*

Στίχ. *Πάντα τὰ ἔθνη ἐκύκλωσάν με καὶ τῷ ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς.*

Στίχ. *Παρὰ Κυρίου ἐγένετο αὕτη καὶ ἔστι θαυμαστὴ ἐν ὀφθαλμοῖς ἡμῶν.*

*Ἦχος δ΄. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.*

Ἐκ τῆς Εὐβοίας ὡς ἀστὴρ ἀνατείλας* καὶ ἐν Ἁγίῳ Ὄρει καταβιώσας,* τῶν μοναστῶν διήνυσας τὸν βίον καρτερῶς,* ὅσιε Πορφύριε,* καὶ ἐδείχθης ἀκρότης* μοναστῶν καὶ σύσκηνος* ἀσωμάτων Ἀγγέλων·* διό σοι χάριν ἔδωκε Χριστὸς* τοῦ καθορᾶν ἀποκρύφων μυστήρια.

*Δόξα. Ὅμοιον.*

Κατατρυχόμενοι παθῶν ὀλεθρίων* καὶ πολυτρόπων πειρασμῶν ταῖς ἐφόδοις,* ὑπὸ τὴν σὴν προστρέχομεν ἀντίληψιν θερμῶς,* κράζοντες· βοήθειαν,* ὦ Πορφύριε, δίδου* πᾶσι τοῖς τιμῶσί σε καὶ πιστῶς ἐκβοῶσιν·* ἐκ τῶν κινδύνων λύτρωσαι ἡμᾶς,* τοὺς κεκτημένους προστάτην σε ἔνθεον.

*Καὶ νῦν. Θεοτοκίον.*

Οὐ σιωπήσομέν ποτε, Θεοτόκε,* τὰς δυναστείας σου λαλεῖν οἱ ἀνάξιοι·* εἰμὴ γὰρ σὺ προΐστασο πρεσβεύουσα,* τίς ἡμᾶς ἐῤῥύσατο ἐκ τοσούτων κινδύνων;* Τίς δὲ διεφύλαξεν ἕως νῦν ἐλευθέρους;* Οὐκ ἀποστῶμεν, Δέσποινα, ἐκ σοῦ·* σοὺς γὰρ δούλους σώζεις ἀεὶ* ἐκ παντοίων δεινῶν.

Εἶτα· ὁ Ν΄ (50) Ψαλμός.

Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.* Ἐπὶ πλεῖον

πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με.* Ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μού ἐστι διὰ παντός.* Σοὶ μόνῳ ἥμαρτον καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα· ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε.* Ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου.* Ἰδοὺ γὰρ ἀλήθειαν ἠγάπησας· τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι.* Ῥαντιεῖς με ὑσσώπῳ, καὶ καθαρισθήσομαι· πλυνεῖς με, καὶ ὑπὲρ χιόνα λευκανθήσομαι.* Ἀκουτιεῖς μοι ἀγαλλίασιν καὶ εὐφροσύνην· ἀγαλλιάσονται ὀστέα τεταπεινωμένα.* Ἀπόστρεψον τὸ πρόσωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν μου καὶ πάσας τὰς ἀνομίας μου ἐξάλειψον.* Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοί, ὁ Θεός, καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου.* Μὴ ἀποῤῥίψῃς με ἀπὸ τοῦ προσώπου σου καὶ τὸ Πνεῦμά σου τὸ Ἅγιον μὴ ἀντανέλῃς ἀπ᾽ ἐμοῦ.* Ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου καὶ πνεύματι

ἡγεμονικῷ στήριξόν με.* Διδάξω ἀνόμους τὰς ὁδούς σου, καὶ ἀσεβεῖς ἐπὶ σὲ ἐπιστρέψουσι.* Ῥῦσαί με ἐξ αἱμάτων, ὁ Θεός, ὁ Θεὸς τῆς σωτηρίας μου· ἀγαλλιάσεται ἡ γλῶσσά μου τὴν δικαιοσύνην σου.* Κύριε, τὰ χείλη μου ἀνοίξεις καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου.* Ὅτι εἰ ἠθέλησας θυσίαν, ἔδωκα ἄν· ὁλοκαυτώματα οὐκ εὐδοκήσεις.* Θυσία τῷ Θεῷ πνεῦμα συντετριμμένον· καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει.* Ἀγάθυνον, Κύριε, ἐν τῇ εὐδοκίᾳ σου τὴν Σιών, καὶ οἰκοδομηθήτω τὰ τείχη Ἱερουσαλήμ.* Τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης, ἀναφορὰν καὶ ὁλοκαυτώματα.* Τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν σου μόσχους.

Εἶτα ψάλλομεν τὸν Κανόνα, οὗ ἡ ἀκροστιχίς:
Σῌ ΧΑΡΙΤΙ ΠΡΟΣΦΕΥΓΩ Ο ΤΑΛΑΣ ΜΕΤΑΝΟΙᾼ. Ε

*Ὠδὴ α΄. Ἦχος πλ. δ΄. Ὑγρὰν διοδεύσας.*

*Ὅσιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.*

Σὴν χάριν αἰτοῦμαι πανευλαβῶς,* Πορφύριε μάκαρ,* ὡς μεσίτην πρὸς τὸν Θεόν·* ἱκέτευσον, Πάτερ, ὅπως τάχος* καθαρωτάτου νοὸς τύχω γνώσεως.

*Ὅσιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.*

Ἠδέσθην ὁ τάλας τῇ ῥυπαρᾷ,* γεώδει φροντίδι,* ἀγνοήσας τὸ τῆς ψυχῆς* λαμπρότατον κάλλος· διό, Πάτερ,* ἐκ τῆς φθορᾶς πρὸ τοῦ τέλους με λύτρωσαι.

*Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι.*

Χαράν τε καὶ θείαν καταλλαγὴν* παρέχει, παμμάκαρ,* παρουσία ἡ ἐμφανὴς* μορφῆς σου τῆς θείας τοῖς σοῖς δούλοις,* τοῖς μετὰ πόθου εἰς σὲ καταφεύγουσι.

*Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.*

Ἁγνείας δοχεῖον τοῦ Ποιητοῦ,* ἁγνοὺς ἡμᾶς τήρει* ταῖς λιταῖς σου πρὸς τὸν Θεόν,* Πανάμωμε, σὺν τῷ Πορφυρίῳ* ὑπὲρ ἡμῶν τὸν Θεὸν ἱκετεύσατε.

*Ὠδὴ γ΄. Οὐρανίας ἁψῖδος.*

*Ὅσιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.*

Ῥῦσαι πάντας κινδύνων* τοὺς εὐλαβῶς, Ὅσιε,* τῇ σῇ καταφεύγοντας σκέπῃ* καὶ μεσιτείᾳ σου,* τῶν δὲ ἀγώνων σου* τοὺς κόπους νῦν ἀνυμνοῦντας,* μιμητὰς ἀνάδειξον* τῆς πολιτείας σου.

*Ὅσιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.*

Ἰατρὸν ἀσθενούντων* καὶ βοηθὸν μέγιστον,* καταπονουμένων τὰ πλήθη* πάντα

σε εὕρομεν·* διὸ νῦν πάρεσο* καὶ τὰς ἡμᾶς τυραννούσας* συστροφὰς τοῦ δαίμονος* ταχὺ διάλυσον.

*Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι.*

Τῆς χαρᾶς τοῦ Κυρίου* ὡς μετασχών, Ὅσιε,* τὴν ψευδῆ χαρὰν τὴν τοῦ κόσμου* σὺ κατεφρόνησας·* διὸ χαρᾶς ἀληθοῦς* ἐν οὐρανοῖς ἀπολαύεις* καὶ ἡμῖν τὰ κρείττονα* παρέχεις πάντοτε.

*Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.*

Ἰατῆρα νοσούντων,* ἁμαρτωλῶν σώτειρα,*σκέπην τε χαρὰν καὶ εἰρήνην,* Θεοχαρίτωτε,* πάντες σε ἔγνωμεν·* διὸ καὶ νῦν ἐκ κινδύνων* σπεῦσον, ἡμᾶς λύτρωσαι* τῇ μεσιτείᾳ σου.

Διάσωσον,* πάτερ Πορφύριε, ἐκ κινδύνων* καὶ πειρασμῶν ἀδοκήτων καὶ θλίψεων,* τοὺς ἐκζητοῦντας* σὴν ἄμεσον προστασίαν.

Ἐπίβλεψον* ἐν εὐμενείᾳ, πανύμνητε Θεοτόκε,* ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν* καὶ ἴασαι* τῆς ψυχῆς μου τὸ ἄλγος.

Αἴτησις ὑπὸ τοῦ Ἱερέως καὶ τὸ Κάθισμα.

*Ἦχος β΄. Πρεσβεία θερμή.*

Προστάτης θερμὸς* καὶ φύλαξ πανάριστος* ὑπάρχεις, σοφέ,* καὶ φάρος ἀκατάσβεστος,* Πορφύριε ὅσιε,* τῆς εὐσεβείας ἀγλάϊσμα·* διὸ ἡμεῖς ἐκ βάθους τῆς ψυχῆς* σοὶ μελῳδοῦμεν τὴν θείαν παράκλησιν.

*Ὠδὴ δ΄. Εἰσακήκοα Κύριε.*

*Ὅσιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.*

Ποδηγόν σε κεκτήμεθα,* τὸν ἁγιωνύμῳ Ὄρει ἀσκήσαντα,* ἔνθα θείαν χάριν ἔλαβες* τοῦ ὁρᾶν τὰ μέλλοντα, Πορφύριε.

*Ὅσιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.*

Ῥωμαλέαις ἀσκήσεσι,* Πνεύματι Ἁγίῳ, μάκαρ, ἐκέρδησας* ἀποῤῥήτων γνῶσιν ἅπασαν* καὶ ἐτάζεις πάντων τὰ νοήματα.

*Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι.*

Ὅλως ὅλον ἐζήλωσας* τὸν Θεὸν τῶν ὅλων, μάκαρ Πορφύριε,* καὶ ἀγάπην ὅλην ἔσχηκας* ἐν τῇ σῇ καρδίᾳ, πολυύμνητε.

*Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.*

Συμπαθείᾳ σου λύτρωσαι* νόσων καὶ κινδύνων καὶ πάσης θλίψεως,* μολυσμάτων καὶ κακώσεων,* τοὺς σοὺς δούλους, Μῆτερ, κινδυνεύοντας.

*Ὠδὴ ε΄. Φώτισον ἡμᾶς.*

*Ὅσιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.*

Φώτισον ἡμᾶς* τῷ φωτὶ τῆς θείας γνώσεως,* ὡς τοῦ θείου νῦν μετέχων φωτισμοῦ* καὶ μεσίτης πρὸς Θεὸν ὑπάρχων, Ὅσιε.

*Ὅσιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.*

Εὔχου καὶ ἡμῖν* ἐν εἰρήνῃ ζῆν, πανεύφημε,* καὶ ἀγάπης οὐρανίου γλυκασμῷ* καὶ καλῇ ὑπακοῇ, ἣν σὺ ἐβίωσας.

*Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι.*

Ὕψωσον ἡμᾶς* καὶ παντοίων ῥύου πτώσεων,* ἀδοκήτων παλαισμάτων τοῦ ἐχθροῦ,* τοὺς τιμῶντάς σου τὴν μνήμην, πάτερ Ὅσιε.

*Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.*

Γάνυται, ἁγνή,* ἐπὶ σοί, Παρθένε ἄχραντε,* καὶ Ἀγγέλων καὶ ἀνθρώπων ἡ πληθύς,* ὡς τεκούσῃ τὸν Χριστὸν καὶ λυτρωτὴν ἡμῶν.

*Ὠδὴ στ΄. Ἱλάσθητί μοι Σωτήρ.*

*Ὅσιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.*

Ὡς ἄνθος θεοπρεπὲς* καὶ πανευῶδες ἐξήνθησας* λειμῶνι τῷ νοητῷ* ἐν ἐσχάτοις ἔτεσι,* Πορφύριε ἔνδοξε·* ὅθεν ἀρετῶν σου* εὐωδίας ἀπολαύομεν.

*Ὅσιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.*

Ὁλόκληρον τῷ Θεῷ* τὴν σὴν καρδίαν προσέφερες,* Πορφύριε θαυμαστέ·* διὸ

φωτιζόμενος* ταῖς θείαις ἐλλάμψεσι,* καταυγάζεις πάντων* ὀρθοδόξων τὰ συστήματα.

*Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι.*

Τὸ ὅπλον τὸ τοῦ Σταυροῦ* ἀναλαβὼν πάσας ᾔσχυνας* τὰς φάλαγγας τοῦ ἐχθροῦ·* διὸ καὶ πρὸς Κύριον* ἐνθέοις πρεσβείαις σου* πάταξον, θεόφρον,* καθ' ἡμῶν ἐχθρῶν στρατεύματα.

*Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.*

Ἁπάσας τὰς ἐντολὰς* ἠθέτησα ὁ ταλαίπωρος* καὶ ἔργοις φθοροποιοῖς* ἑαυτὸν ἠνάλωσα·* διὸ καὶ αἰτοῦμαί σου* ἐκ κακίας βάθους,* Θεοτόκε, μὲ ἀνάγαγε.

Διάσωσον,* πάτερ Πορφύριε, ἐκ κινδύνων* καὶ πειρασμῶν ἀδοκήτων καὶ θλίψεων* τοὺς ἐκζητοῦντας* σὴν ἄμεσον προστασίαν.

Ἄχραντε,* ἡ διὰ λόγου τὸν Λόγον ἀνερμηνεύτως* ἐπ᾽ ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα, δυσώπησον,* ὡς ἔχουσα μητρικὴν παρρησίαν.

Δέησις ὑπὸ τοῦ ἱερέως, καθ᾽ ἣν μνημονεύονται τὰ ὀνόματα τῶν τελούντων τὴν ἱερὰν Παράκλησιν. Μετὰ δὲ τὴν ἐκφώνησιν· Ὅτι ἐλεήμων...

Κοντάκιον. *Ἦχος β´. Τοῖς τῶν αἱμάτων σου.*

Σημειοφόρε παμμάκαρ Πορφύριε,* ἐπὶ τῆς γῆς βιοτεύσας ὡς ἄσαρκος,* ἐν οὐρανῷ μεγάλως δεδόξασαι·* διὸ Χριστὸν παῤῥησίᾳ ἱκέτευε* σωθῆναι ἡμᾶς τοὺς ὑμνοῦντάς σε.

Εἶτα τὸ Προκείμενον. Ἦχος δ´.

Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου αὐτοῦ. (γ´ )
Στίχ. *Τοῖς ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ ἐθαυμάστωσεν ὁ Κύριος.*

## Εὐαγγέλιον κατὰ Ματθαῖον (11, 27-30).

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς· πάντα μοι παρεδόθη ὑπὸ τοῦ Πατρός μου· καὶ οὐδεὶς ἐπιγινώσκει τὸν Υἱόν, εἰ μὴ ὁ Πατήρ· οὐδὲ τὸν Πατέρα τις ἐπιγινώσκει, εἰ μὴ ὁ Υἱός, καὶ ᾧ ἐὰν βούληται ὁ Υἱὸς ἀποκαλύψαι. Δεῦτε πρός με πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι, κἀγὼ ἀναπαύσω ὑμᾶς. Ἄρατε τὸν ζυγόν μου ἐφ᾽ ὑμᾶς, καὶ μάθετε ἀπ᾽ ἐμοῦ, ὅτι πρᾶός εἰμι καὶ ταπεινὸς τῇ καρδίᾳ, καὶ εὑρήσετε ἀνάπαυσιν ταῖς ψυχαῖς ὑμῶν· ὁ γὰρ ζυγός μου χρηστὸς καὶ τὸ φορτίον μου ἐλαφρόν ἐστιν.

### Ἦχος β΄. Δόξα.

Ταῖς τοῦ σοῦ Ὁσίου πρεσβείαις, Ἐλεῆμον,
ἐξάλειψον τὰ πλήθη τῶν ἐμῶν ἐγκλημάτων.

### Καὶ νῦν.

Ταῖς τῆς Θεοτόκου πρεσβείαις, Ἐλεῆμον,
ἐξάλειψον τὰ πλήθη τῶν ἐμῶν ἐγκλημάτων.

## Προσόμοιον.
### *Ἦχος πλ. β΄. Ὅλην ἀποθέμενοι.*

Στίχ. *Ἐλεῆμον, ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός Σου καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν Σου ἐξάλειψον τὸ ἀνόμημά μου.*

Ὅσιε Πορφύριε,* τῆς νηπτικῆς ἐργασίας* ἀκριβῆ διδάσκαλον,* μοναχῶν ὑπόδειγμα σὲ γινώσκομεν·* ἀρετῆς πρόβολον,* ἱερέων μύστην,* ὀρφανῶν τὸ παραμύθιον,* πάντων ἀντίληψιν καὶ ἁμαρτανόντων ἀνόρθωσιν,* εἰρήνην τὸν παρέχοντα* καὶ τῆς χαρμολύπης ἐκφάντορα·* ὅθεν σοι βοῶμεν·* μὴ παύσῃ πρὸς τὸν εὔσπλαγχνον Θεὸν* πρεσβεύειν ὑπὲρ τῶν δούλων σου,* τῶν παρακαλούντων σε.

Εἶτα ἐκφωνεῖται ὑπὸ τοῦ Ἱερέως ἡ λιτανευτικὴ ἱκεσία: Σῶσον, ὁ Θεός, τὸν λαόν σου...· μεθ’ ἣν ἀποπληροῦται ὁ Κανών.

## *Ὠδὴ ζ΄. Οἱ ἐκ τῆς Ἰουδαίας.*

*Ὅσιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.*

Λύσιν δίδου πταισμάτων* τοῖς προστρέχουσι πίστει* τῇ ἀντιλήψει σου,* Πορφύριε παμμάκαρ,* πρεσβεύων τῷ Κυρίῳ,* ἵνα ἵλεως γένηται* ἐν ὥρᾳ τῇ φοβερᾷ* τῆς μισθαποδοσίας.

*Ὅσιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.*

Ἀρετῶν μέγαν πλοῦτον* ἐθησαύρισας, Πάτερ,* ἐν τῇ καρδίᾳ σου·* διὸ καὶ ἀνεδείχθης* θερμότατος μεσίτης* τοῖς πιστῶς σοι κραυγάζουσι·* μὴ ἐπιλάθου ἡμῶν,* Πορφύριε, εὐχαῖς σου.

*Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι.*

Σκέπε, φρούρει σοὺς δούλους,* τοὺς θερμῶς ἐκζητοῦντας* Θεοῦ τὸ θέλημα,* πλουτίζων ἀενάως* ταῖς θείαις φωταυγείαις* τὰς ψυχὰς αὐτῶν, Ὅσιε,* ἵνα αἰνῶσι Χριστὸν* ἀεὶ εἰς τοὺς αἰῶνας.

*Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.*

Μητροπάρθενε Κόρη,* καταφύγιον πάντων* τῶν ἐν στενώσεσιν,* ἐκ θλίψεων παντοίων* καὶ νόσων ψυχοφθόρων* τῶν φθονούντων με λύτρωσαι,* ἵνα ὑμνῶ σε ἀεί,* τὴν Κεχαριτωμένην.

*Ὠδὴ η΄. Τὸν Βασιλέα.*

*Ὅσιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.*

Ἔνθεον βίον,* ξενοφανῆ διὰ κόσμον,* διανύσας ἐν Καυσοκαλυβίοις,* πάντων ὑπερόπτης* τῶν γεηρῶν ἐγένου.

*Ὅσιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.*

Τάχυνον, Πάτερ,* τῆς ζοφερᾶς ἀλογίας* καὶ παθῶν τῶν τυραννούντων με σῶσον,* πάσης δ᾽ ἀλγηδόνος* θεράπευσόν με τάχει.

*Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι.*

Ἀφρόνως, Πάτερ,* ἐν ἀσωτείᾳ τὸν βίον* ἐδαπάνησα ἐν πλείσταις ἁμαρτίαις·* ὅθεν ἐκ τοῦ σκότους* φθορᾶς ἀνάγαγέ με.

*Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.*

Νέκρωσιν θείαν* ἐκ τῶν παθῶν μοι παράσχου,* ἡ Θεὸν καὶ Σωτῆρα τεκοῦσα·* ὃν νῦν ἐκδυσώπει* ὁμοῦ σὺν Πορφυρίῳ.

## Ὠδὴ θ΄. Κυρίως Θεοτόκον.

*Ὅσιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.*

Ὁμόνοιαν παράσχου* τοῖς προσπίπτουσί σοι,* ἐν ἀληθεῖ μετανοίᾳ, Πορφύριε,* εἰρηνοφόρον παρέχων* βίον σωτήριον.

*Ὅσιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.*

Ἰάτρευσον τὰ πάθη* τὰ τῆς διανοίας,* δι᾽ ἐμπαθῶν λογισμῶν τυραννούντων με,* ἵνα ὁδὸν ἀπαθείας* πόθῳ πορεύσωμαι.

*Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι.*

Ἀγῶσί τε καὶ πόνοις* ἤγαγες εἰς πέρας* τὴν τῆς ἀσκήσεως τρίβον, Πορφύριε·* διὸ τὴν ἄνωθεν χάριν* πλουσίως εἵλκυσας.

*Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.*

Εὐλόγησον, Παρθένε,* πάντων τὰς καρδίας* τῶν ἐπὶ σὲ ἐλπιζόντων, Πανύμνητε,* καὶ λογισμοὺς γλυκυτάτους* ἡμῖν ἐνστάλαξον.

Μεγαλυνάρια.

Ἄξιόν ἐστιν ὡς ἀληθῶς* μακαρίζειν σε τὴν Θεοτόκον,* τὴν ἀειμακάριστον καὶ παναμώμητον* καὶ Μητέρα τοῦ Θεοῦ ἡμῶν.* Τὴν τιμιωτέραν τῶν Χερουβεὶμ* καὶ ἐνδοξοτέραν* ἀσυγκρίτως τῶν Σεραφείμ,* τὴν ἀδιαφθόρως* Θεὸν Λόγον τεκοῦσαν,* τὴν ὄντως Θεοτόκον, σὲ μεγαλύνομεν.

Χαίροις, τῶν θαυμάτων ὁ ποταμὸς* καὶ τῶν μοναζόντων* ὁ διδάσκαλος ὁ σεπτός,* μετανοίας κῆρυξ,* χαρᾶς τε ἀϊδίου,* ὦ οὐρανοπολῖτα* θεῖε Πορφύριε.

Χαίροις, τῶν ὁσίων ἡ καλλονὴ* καὶ τῶν ἐν ἀνάγκαις* ἡ γλυκεῖα καταφυγή,* χαίροις, τῆς Τριάδος* ὁ θεῖος ὑποφήτης* καὶ γνήσιος θεράπων* τῆς Θεομήτορος.

Χαίροις, τῶν ἀῤῥήτων ὁ ἑρμηνεὺς* καὶ τῶν ἀποῤῥήτων* τῆς Τριάδος ὁ παροχεύς,* χαίροις, ὁ τῷ βάθει* σοφίας ἐμβατεύων,* μυσταγωγέ, Πορφύριε,* θείας χάριτος.

Πρέσβευε, δεόμεθα ἐκτενῶς,* Πορφύριε μάκαρ,* ὑπὲρ πάντων τῶν εὐλαβῶς* καὶ ἐν κατανύξει* θερμῶς ἐπιζητούντων* τὴν σὴν παρηγορίαν* καὶ θεῖον ἔλεος.

Χαίροις, ἱερέων τύπος λαμπρὸς* καὶ τῶν ἐν ἀσκήσει* ἀκριβέστατος ὁδηγός,* χαίροις, τῶν Ὁσίων* ἡ δόξα καὶ τὸ κλέος,* Πορφύριε παμμάκαρ,* ἡμῶν ὑπόδειγμα.

Τύφλωσις πηλίνων σου ὀφθαλμῶν,* μάκαρ, ἐμποδίσαι* τῆς καρδίας τὸν φωτισμὸν* οὐκ ἴσχυσε, Πάτερ·* καὶ γὰρ τοῦ Παρακλήτου* ἀκτίστου παρουσία* φωτός σε ἔπλησε.

Δός μοι, Πάτερ, δέομαι ἐκ τοῦ σοῦ* φέγγους ἀπαθείας,* ὅπερ ἔλαβες ἐκ Θεοῦ,* τὴν μεμολυσμένην,* ἀκάθαρτον ψυχήν μου* πυρὶ τῆς μετανοίας* καινήν μοι ποίησον.*

Ἀνυμνολογοῦμέν σου τὰς σεπτὰς* ἀρετάς, παμμάκαρ,* τὴν διάκρισιν τὴν πολλήν,* τὴν ὑπακοήν τε,* ἁπλότητα τὴν θείαν,* ἀγάπην τὴν πρὸς πάντας* τὴν ἀπροσμέτρητον.

Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαί,* Πρόδρομε Κυρίου,* Ἀποστόλων ἡ δωδεκάς,* οἱ Ἅγιοι πάντες,* μετὰ τῆς Θεοτόκου,* ποιήσατε πρεσβείαν* εἰς τὸ σωθῆναι ἡμᾶς.

Τὸ Τρισάγιον.

Ἀπολυτίκιον. *Ἦχος γ΄. Θείας πίστεως.*

Σκεῦος χάριτος* τοῦ Παρακλήτου* σὲ ἀνέδειξεν* ἡ τῆς Τριάδος* χαριτόβρυτος, Πάτερ, ἐπίνευσις·* σὺ γὰρ αὐξήσας συντόνως τὸ χάρισμα,* ὡς φωτοφόρος ἐν κόσμῳ διέλαμψας·* ὅθεν πρέσβευε* Χριστῷ τῷ Θεῷ, Πορφύριε,* δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

Ἡ Ἐκτενὴς καὶ Ἀπόλυσις, μεθ’ ἣν ψάλλομεν ἀργῶς τὰ κάτωθι Τροπάρια.

*Ἦχος β΄. Ὅτε ἐκ τοῦ ξύλου.*

Κόσμου* τὰ τερπνὰ καταλιπών,* Πάτερ, ὡς τρωθεὶς τὴν καρδίαν* τῇ ἀγαπήσει Χριστοῦ,* ἦρας τὸν Σταυρὸν αὐτοῦ* ἐπὶ τῶν ὤμων σου* καὶ τὸν βίον διήνυσας,* γενόμενος ξένος* πάντῃ κόσμου, Ἅγιε,* καίπερ οἰκήσας ἐντός·* ὅθεν σὺ ἐτράνωσας ὄντως* λόγον, ὅτι καθαγιάζει* οὐχ ὁ τόπος ἀλλ᾽ ὁ τρόπος, Ὅσιε.

Δέσποινα, πρόσδεξαι* τὰς δεήσεις τῶν δούλων σου* καὶ λύτρωσαι ἡμᾶς* ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

Τὴν πᾶσαν ἐλπίδα μου* εἰς σὲ ἀνατίθημι,* Μῆτερ τοῦ Θεοῦ,* φύλαξόν με ὑπὸ τὴν σκέπην σου.

Ἐκ παντοίων κινδύνων* τοὺς δούλους σου φύλαττε,* εὐλογημένη Θεοτόκε,* ἵνα σε δοξάζομεν,* τὴν ἐλπίδα τῶν ψυχῶν ἡμῶν.

Τῇ πρεσβείᾳ, Κύριε,* πάντων τῶν Ἁγίων* καὶ τῆς Θεοτόκου,* τὴν σὴν εἰρήνην δὸς ἡμῖν* καὶ ἐλέησον ἡμᾶς,* ὡς μόνος οἰκτίρμων.

*Στίχοι.*

*Πορφύριε, φύλαττε ταῖς προσευχαῖς σου*
*Εὐάγγελον τλήμονα, προσπίπτοντά σοι·*
*σὺν τούτῳ δὲ πάρεχε ἀφθόνως χάριν,*
*πᾶσί σε τοῖς δάκρυσι παρακαλοῦσι.*